τοῦτο γὰρ αἴτιον πρῶτον τοῦ εἶναι. ἐπεὶ δ' ἔνια A οὐκ οὐσίαι τῶν πραγμάτων, ἀλλ' ὅσαι οὐσίαι κατὰ φύσιν καὶ φύσει συνεστήκασι, φανείη ἂν τισιν καὶ αὕτη ἡ φύσις οὐσία, ἥ ἐστιν οὐ στοιχεῖον, ἀλλ' ἀρχή. στοιχεῖον δ' ἐστὶν, εἰς ὃ διαιρεῖται ἐνυπάρχον ὡς ὕλην, οἷον τῆς συλλαβῆς τὸ α καὶ τὸ β.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ B

τῶν μετὰ τὰ φυσικὰ

τὸ Η.

Κεφάλαιον α.

Ἐκ δὴ τῶν εἰρημένων συλλογίζεσθαι δεῖ, καὶ συναγαγόντας τὸ κεφάλαιον, τέλος ἐπιθεῖναι. εἴρηται δὴ ὅτι τῶν οὐσιῶν ζητεῖται τὰ αἴτια, καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα. οὐσίαι δὲ, αἱ μὲν ὁμο- C λογούμεναί εἰσιν ὑπὸ πάντων· περὶ δὲ ἐνίων ἰδίᾳ τινὲς ἀπεφήναντο. ὁμολογούμεναι μὲν αἱ φυσικαί· οἷον, πῦρ, γῆ, ὕδωρ, καὶ τἄλλα τὰ ἁπλᾶ σώματα· ἔπειτα τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν· καὶ τὰ ζῶα, καὶ τὰ μόρια τῶν ζώων· καὶ τέλος ὁ οὐρανὸς, καὶ τὰ μόρια τοῦ οὐρανοῦ. ἰδίᾳ δέ τινες οὐσίας λέγουσιν εἶναι, τά τ' εἴδη καὶ τὰ μαθηματικά. ἄλλας δὲ δὴ συμ- D βαίνει ἐκ τῶν λόγων οὐσίας εἶναι, τὸ τί ἦν εἶναι, καὶ τὸ ὑποκείμενον. ἔτι ἄλλως τὸ γένος μᾶλλον τῶν εἰδῶν, καὶ τὸ καθόλου τῶν καθ' ἕκαστα. τῷ δὲ καθόλου καὶ τῷ γένει, καὶ αἱ ἰδέαι συνάπτουσι. κατὰ τὸν αὐτὸν γὰρ λόγον οὐσίαι δοκοῦσιν εἶναι. ἐπεὶ δὲ τὸ τί ἦν εἶναι οὐσία, τούτου δὲ λόγος ὁ ὁρισμὸς, διὰ τοῦτο περὶ ὁρισμοῦ καὶ περὶ τοῦ καθ' αὑτὸ διώρισται. ἐπεὶ δὲ ὁ ὁρισμὸς λόγος, ὁ δὲ λόγος μέρη ἔχει, ἀναγκαῖον καὶ πε- E ρὶ μέρους ἦν ἰδεῖν, ποῖα τῆς οὐσίας μέρη, καὶ ποῖα οὔ· καὶ εἰ ταῦτα, καὶ τοῦ ὁρισμοῦ δεῖ. ἔτι τοίνυν οὔτε τὸ καθόλου οὐσία, οὔτε τὸ γένος. περὶ δὲ τῶν ἰδεῶν καὶ τῶν μαθηματικῶν, ὕστερον σκεπτέον. περὶ γὰρ τὰς αἰσθητὰς οὐσίας ταύτας, λέγουσί τινες εἶναι. νῦν δὲ περὶ τῶν ὁμολογουμένων οὐσιῶν ἐπέλθωμεν. αὗται δ' εἰσὶν αἱ αἰσθηταί. αἱ δ' αἰσθηταὶ οὐσίαι πᾶσαι, ὕλην ἔχουσιν. ἔστι δ' οὐσία F τὰ ὑποκείμενα, ἄλλως μὲν ἡ ὕλη, ἄλλως δὲ ὁ λόγος. ὕλην δὲ λέγω, ἣ μὴ τόδε τι οὖσα ἐνεργείᾳ, δυνάμει ἐστὶ τόδε τι. ἄλλως δὲ ὁ λόγος καὶ ἡ μορφή. ὃ τόδε τι ὂν, τῷ λόγῳ χωριστὸν

Hoc nanque prima ipſius eſſe cauſa eſt. Cùm autem quædam non ſubſtantiæ rerum ſint, ſed quęcunque ſubſtantiæ ſecundum naturam, & natura conſtitutæ ſint, videri poſſit profectò aliquibus hæc quoque natura ſubſtantia eſſe, quæ non elementum, ſed principium eſt. Elementum autem eſt, in quod exiſtens diuiditur vt materiam, vtputa ſyllabæ ipſum a & b.

ARISTOTELIS

METAPHYSICORVM

LIBER VIII.

CAPVT I.

Ex iis igitur, quæ dicta ſunt, colligere oportet, ac congregando ſummatim finem imponere. dictum autem eſt, quòd ſubſtantiarum cauſæ, principia & elementa quæruntur. Subſtantiæ vero quædam ab omnibus conceſſæ ſunt, de quibuſdam ſeparatim enuntiauerunt quidam. Conceſſæ quidem, quæ naturales ſunt: vt ignis, terra, aqua, & cætera ſimplicia corpora, deinde plantæ, & partes earum: animalia, & partes eorum: & tandem cælum, & partes cæli. Separatim autem, ſubſtantias quidam eſſe dicunt ſpecies, & mathematica. Alias vero accidit ex orationibus ſubſtantias eſſe, quod quid erat eſſe, & ſubiectum. Item aliter genus magis, quàm ſpecies, & vniuerſale, quàm ſingularia. Vniuerſali vero & generi, ideę quoque copulantur: eadem nanque ratione ſubſtantiæ videntur eſſe. Cùm autem quod quid erat eſſe ſubſtantia, huius autem ratio, definitio, ideo de definitione, & de ſecundum ſe, determinatum eſt. Quoniam vero definitio oratio, oratio autem partes habet, neceſſe quoque de parte erat videre, quęnam ſubſtantiæ partes, & quæ non: & ſi has definitionis quoque eſſe oportet. Item etiam, nec vniuerſale ſubſtantia eſt, neque genus. De ideis vero, & mathematicis, poſterius conſiderandum eſt. Etenim præter ſenſibiles ſubſtantias, has quidem eſſe dicunt. Nunc vero de conceſſis ſubſtantiis tractemus. Hæ autem ſunt, quæ ſenſibiles ſunt. Senſibiles vero cunctæ ſubſtantiæ, materiam habent. Eſt autem ſubſtantia id ipſum, quod ſubiicitur: aliter quidem materia, & aliter ratio. Materiam autem dico, quæ non quod quid actu ſit, potentia eſt quod quid: aliter autem, ratio & forma: quod cùm ſit, quod quid, ra-